[113] Il faut noter à ce propos que nous rencontrons le même phénomène dans l'enkômion de Théodore Stoudite sur la Nativité de Jean Baptiste, où l'auditoire est désigné en termes très vagues: ἐλαχίστη σου ποίμνη (*PG* 99, 757C), contrairement à ses enkômia sur la Décollation de ce Saint et sur Jean le Théologien sous le vocable duquel était l'église de Sakkoudion, monastère annexé à celui de Stoudios; il faut d'ailleurs remarquer que ces allusions aux saints patrons n'y figurent qu'une seule fois, dans l'exorde (772A et 788C).

fois, chez Théodore Stoudite[109]. A noter que dans la Vie le contexte n'appuie guère cette signification, ce qui suppose que cette acception était déjà bien connue de l'auditoire (ἐπὶ ... Μεθοδίου τοῦ ἁγιωτάτου πατριάρχου καὶ καθαιρέτου τῆς τῶν ἡμιχρίστων αἱρέσεως, «hérésie des demi-chrétiens»).

2. Le participe du verbe συλλέγω, «recueillir», se présente comme συλλελεχώς (Eloge V, 37; Vie 1, *PG* 99, 234B), formé sur la base du parfait du verbe λέγω, «parler», tandis que λέγω, «cueillir» a pour parfait εἴλοχα. La forme συλλελεχώς est donc une incorrection et, à ce titre, une propre invention de l'auteur; il est remarquable à cet égard que dans l'Eloge le copiste de B l'ait remplacée par συνειλοχώς, tandis que dans le texte de la Vie le *Par. gr.* 755 donne au lieu de cette forme συλλέγχως.

3. Les invectives, qui forment un paragraphe spécial à la fin des deux pièces, se ressemblent beaucoup par leur début:

Vie (320CD)	Eloge: (XII.1)
Ἐρρέτω φθόνος ὁ κατὰ τοῦ δικαίου Θεοδώρου κατεξανιστάμενος· αἰσχυνέσθωσαν δὴ καὶ οἱ ἐνδιαβάλλοντες τὸν θεοειδῆ τῶν μοναζόντων καθηγητὴν καὶ διδάσκαλον· *καὶ χεῖρα τιθέτωσαν τοῖς σφῶν αὐτῶν*, κατὰ τὰ λόγια, *χείλεσιν*	*Πιπτέτω φθόνος*[110] δεινὸς τῶν εἰκονομάχων, ἐμφραττέσθω τὰ στόματα τῶν λαλούντων κατὰ τῆς τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν εἰκόνος ἀνομίαν

Dans les deux cas, nous voyons l'orateur s'en prendre au même ennemi, la Jalousie (φθόνος), et condamner au silence ceux qu'elle inspire, en faisant appel à une phrase de l'Ecriture (Sap. 8. 12 dans la Vie; Job 5. 16 dans l'Eloge). Une telle invective n'est pas un topos rhétorique, c'est une création de l'auteur[111].

Ces trois rapprochements d'ordre linguistique accusent le même milieu d'origine pour les deux oeuvres en question, et ainsi ils confirment le témoignage de la tradition manuscrite.

Dernières précisions

Ayant identifié l'auteur de l'Eloge avec celui de la Vie de Théodore Stoudite, nous pouvons préciser certains détails de son contenu et quelques circonstances de sa rédaction. Notre auteur était donc moine du monastère de Stoudios et composait ses oeuvres vers le troisième tiers du IXe siècle.

[109] In Ioh. Bapt. Nativ. (*PG* 99, 752C): μὴ εἰκονίζοντες ἡμίχριστοι. Nous nous rapportons ici au dictionnaire injustement négligé par les byzantinistes, Δ. Δημητράκος, *Μέγα Λεξικὸν ὅλης τῆς ἑλληνικῆς γλώσσης* I–XV, Athènes 1964 (reproduction); un grand mérite de cet ouvrage est de réunir les données de nombreux dictionnaires.

[110] cf. Gr. Naz., Or. 44 (*PG* 36, 620C).

[111] Nous nous en rapportons aussi à la compétence du R. P. Paramelle qui connaît une grande quantité de textes byzantins.

Dans ces conditions, les attaques directes et indirectes contre les iconoclastes, qui apparaissent tout au long du discours, rentrent dans le cadre de la lutte avec la survie de l'iconoclasme après le rétablissement de l'iconodoulie en 843[112] et sont à rapprocher des Actes des conciles de 867 et 878 ainsi que des oeuvres de Photios. Ces attaques nous montrent l'auteur engagé dans les controverses contemporaines. En parlant des icônes des archanges (V, XI), il insiste sur l'importance de leur vénération; en outre, il glisse une remarque pour justifier cette vénération (XI. 8), qui précède une longue digression consistant en invectives violentes contre les iconoclastes et, pour finir, il demande aux archanges de les «disperser»; cela révèle que la polémique était encore d'actualité.

Quant au monastère où ce discours a été prononcé, toutes les caractéristiques fournies par la critique interne de l'Eloge correspondent à ce que nous connaissons de ce monastère: un grand couvent de la capitale, qui exerce une activité charitable, centre intellectuel qui tient une espèce d'école, place forte du culte des images; la châsse mentionnée dans l'Eloge abrite le corps de saint Théodore.

Un seul détail semble faire difficulté par rapport à cette localisation: c'est que l'orateur, en évoquant, à propos de l'archange Gabriel la naissance de Jean-Baptiste, ne fait aucune allusion au fait que l'église où il prêche est dédiée au Précurseur; pourtant cela peut s'expliquer tout simplement par la prédominance marquée de l'archange Michel dans l'ensemble de l'Eloge[113].

Culte de l'archange Michel au monastère de Stoudios

Pour finir, nous croyons utile de citer des informations qui nous semblent expliquer le grand éclat que revêtait au monastère de Stoudios la fête des archanges.

[112] P. Schreiner, Der byzantinische Bilderstreit: kritische Analyse der zeitgenössischen Meinungen und das Urteil der Nachwelt bis heute, *Settimane di Studio del centro italiano di studi sull'alto medioevo* 34 (1988) 400; F. Dvornik, The Patriarch Photios and Iconoclasm, *DOP* 7 (1953) 67–97.

[113] Il faut noter à ce propos que nous rencontrons le même phénomène dans l'enkômion de Théodore Stoudite sur la Nativité de Jean Baptiste, où l'auditoire est désigné en termes très vagues: ἐλαχίστη σου ποίμνη (*PG* 99, 757C), contrairement à ses enkômia sur la Décollation de ce Saint et sur Jean le Théologien sous le vocable duquel était l'église de Sakkoudion, monastère annexé à celui de Stoudios; il faut d'ailleurs remarquer que ces allusions aux saints patrons n'y figurent qu'une seule fois, dans l'exorde (772A et 788C).

Sans même rappeler que le culte de Michel, très ancien à Constantinople, a connu un grand développement à partir de Basile le Macédonien[114], un motif à cette dévotion spéciale du monastère nous est suggéré par Pantoléon et par la *Souda*. D'après Pantoléon[115], le consul Stoudios avait été guéri dans le sanctuaire de l'archange Michel à Germia (Galatie); en remerciement, il y construisit une église avec un xenodochion, qu'il pourvut de revenus[116]. La *Souda* cite une inscription qui nous apprend que Stoudios a érigé une église en l'honneur de l'archange à Nacoleia (Phrygie)[117]. Ces témoignages montrent que le consul avait une dévotion particulière pour Michel archange, et il est logique de croire qu'il a institué une solennité toute spéciale pour la fête du stratège céleste dans un monastère qu'il a fondé.

****

Ayant ainsi présenté cette pièce encore inédite, nous pouvons constater que, comparé aux autres oeuvres du même genre, qui apportent peu d'informations sur les circonstances de leur rédaction, l'Eloge en présente un certain nombre: l'auteur en effet ne voulait pas s'en tenir à des généralités, si bien que son discours, échappant à la banalité, représente un témoin historique de valeur. Il atteste, comme œuvre littéraire, sortie de la plume d'un auteur médiocre, le haut niveau de formation de l'époque qui suit immédiatement les «siècles obscurs»; comme document liturgique, il est le témoin le plus ancien du Récit sur la Synaxe des archanges, sous la forme qui a été adoptée dans l'hagiographie orientale postérieure; enfin, comme témoin historique, il confirme et complète nos connaissances sur le monastère de Stoudios au IXe s.

Appendice. Version remaniée de l'Eloge

L'autre version de l'Eloge, avec les mêmes incipit et desinit que la version originale, est représentée par quatre manuscrits qui forment, par la

[114] R. Janin, La géographie ecclésiastique de l'Empire byzantin III/I., Paris ^{2}1969, 337.

[115] Les plus anciens manuscrits (*Vat. gr.* 808, *Par. gr.* 1510) de cette oeuvre datent du dixième siècle, le *terminus post quem* est la mention de l'empereur Michel III introduite par Pantoléon à propos d'un des miracles de S. Michel (*Coisl.* 146, f. 238). La datation (milieu du IXe s.) d'Ehrhard n'est pas valable, étant donné qu'il parle d'une oeuvre d'un autre Pantoléon, prêtre du monastère hiérosolymitain τῶν Βυζαντίων (K. Krumbacher, *o. c.*, 167).

[116] Le texte est édité par C. Mango, *o. c.* (n. 2), 47–49.

[117] Suidae Lexicon, ed. A. Adler IV, Leipzig 1935, *sub voce* Στούδιος; cf. commentaire C. Mango, *o. c.* (n. 2), 45–47.

similitude de leur contenu, un groupe à part, un recueil non-métaphrastique de panégyriques pour la moitié de l'année[118]. Ce sont:

PARIS, Bibl. Nat., *Coisl.* 146 (XIVe s., f. 217v-232)[119];

ISTANBUL, Patriarcat oecuménique, *Schol. Theol.* 33 (XVIe s., f. 299–308)[120];

ATHOS, *Dion.* 168 (a. 1604/1605)[121];

ATHOS, *Greg.* 10 (XVI-XVIIe s.)[122].

Ces quatre manuscrits présentent les mêmes pièces dans le même ordre dans la partie réservée au mois de novembre, ce qui indique, sans doute, leur parenté étroite[123].

Nous avons collationné partiellement les deux premiers manuscrits, les autres nous restant inaccessibles. Toutes les modifications et variantes du texte de l'Eloge conservé en A et B que nous rencontrons dans le *Coislin* figurent dans le *Schol. Theol.*, et cela autorise à considérer celui-ci comme un descendant du *Coislin*.

Les résultats de notre travail montrent que la version présentée par ces témoins est une recension abrégée[124] et modifiée de l'Eloge, et nous n'avons pas poussé plus loin la recherche. Nous signalons que dans tous les cas où le texte de nos témoins présente des difficultés, nous avons consulté ces manuscrits, mais leur réponse ne nous a rien fourni d'utile pour résoudre notre problème. Nous citons ici certains de ces exemples d'après le *Coislin* 146.

I, 22. πρώτην B: θείαν A *Coislin*.

IV, 9. προσφέρει nos: προσφέρειν AB *Coislin*.

VII, 39. θεοεικελὲς A: θεομελὲς B θεοείκελες *Coislin*.

Plusieurs de nos cas problématiques tombent sur des passages que le *Coislin* a omis, par ex., V, 4. ταξιάρχαις; V, 7: ἀγορεύοντες A: διαγορεύοντες B; V, 19. πλείοσιν B: πλησίον A; VI, 17. ἄγγελος γὰρ φωτεινὸς πρὸς θεοῦ δεδημιούργητο: om. A; VI, 42–44. λέγων «Πρόσχωμεν», μόνον οὐχὶ πρὸς σκέψιν αὐτοὺς (sc. les anges) καὶ συναίσθησιν συμβιβάζων καὶ φάσκων· «Πρόσχωμεν», τοῦτ'ἔστι· «Προσέχωμεν....B; XIII, 1–2: χαίρειν φάσαντες A: ἐάσαντες B.

[118] A. Ehrhard, III, 491–495.

[119] R. Devreesse, Le fonds Coislin, Paris 1945, 132–133

[120] H. Delehaye, Catalogus codicum hagiographicorum graecorum bibliothecae Scholae Theologicae in Chalce insula, *AnBoll* 44 (1926), 40–41.

[121] S. Lambros, Catalogue of the Greek Manuscripts... I, 353. Le manuscrit n'est pas analysé.

[122] *ib.*, 45.

[123] *ib.*, 494; il faut prendre ici en considération le fait que l'Eloge est un texte *rare*.

[124] Elle représente à peu près les deux tiers du texte original: dans le *Coisl.* 146 le texte compte ≈ 19250 caractères contre ≈ 26900 dans le *Vat. gr.* 1669.

Pour donner une idée de cette version, nous en citons ci-dessous un échantillon d'après *Coislin* 146.

Coislin 146, f. 222–223v	Ch. VI de notre édition
Ἀλλ' ἴσως εἴποι τις ἂν τῶν λίαν ἐπεσκεμμένων τὰ θεῖα καὶ πρὸς τὴν ἐξέτασιν τῶν προβλημάτων εὐθυβόλως φιλοπευστούντων·	Ἐκεῖνο δ' ἄν τις οὐκ ἀπεικότως προσερήσαιτο, τῶν λίαν ἐπεσκεμμένων τὰ θεῖα καὶ πρὸς τὴν ἐξέτασιν τῶν προβλημάτων εὐθυβόλως φιλοπευστούντων·
« Ὅτου δὴ χάριν τὴν σύναξιν τήνδε τῶν ἀρχαγγέλων πανηγυρίζειν ἀφίγμεθα, καὶ τί βούλεται ἡμῖν ἡ θεία τῶν ἀσωμάτων τελετὴ παριστᾶν τήμερον ἢ τί τὸ μνημόσυνον ὑπάρχει τῆς αὐτῶν παγκοσμίου ὁμηγύρεως;	« Ὅτου δὴ χάριν τὴν μνείαν ταύτην τῶν ἀρχαγγέλων πανηγυρίζειν ἡ ἐκκλησία παρείληφεν, καὶ τί βούλεται παριστᾶν τῆς ἑορτῆς ἡ ὑπόθεσις;
ἐπειδὴ μὴ αὐτοὶ *τῆς κάτω πεφύκασι κατὰ τὴν φύσιν συνθέσεως* οὐδὲ τριχῇ διαστατοῖς περιβέβληνται σώμασιν, ἵνα καὶ τὴν ἐκ τούτων ὡς καθ' εἱμαρμένην διὰ τὴν παράβασιν, λέγω δὴ ὡς ἡμεῖς διάζευξιν ὑπομείνωσιν.	Οὐ γὰρ δή γε πάντως αὐτοὶ *τῆς κάτω πεφύκασι κατὰ τὴν φύσιν συνθέσεως* καὶ τριχῇ διαστατοῖς περιβέβληνται σώμασιν, ἵνα φαίη τις αὐτοὺς τὴν ἐκ τούτων καθ' ὁμοιότητα ἡμῶν ὑπομεῖναι διάζευξιν καὶ τοῦτο τήμερον ἑορταστικῶς ἄγειν.
Ἐν ἀσυγκρίτῳ γὰρ οὗτοι καὶ ἀσκεπάστῳ, ὥς φησι τὰ λόγια, φύσει πρὸς τῆς ἀνάρχου θεαρχίας ἀρχῆθεν ὑπέστησαν, διὸ καὶ κρείττους θανάτου κατὰ τὴν φύσιν ὑπάρχουσιν· ἐξ οὗ δῆλόν ἐστιν ὡς, εἰ καὶ παρέβησάν τινες τῆς αὐτῆς λελογχότες ὑπάρξεως, ἄλλην ἄλλου διὰ θανάτου τὴν τῆς προπετείας ἔκτισιν ἀπεκδέχονται, ἅτε δὴ μήθ' ὅλως τὴν ἐν σώματι ζωὴν ἐξηκότες.»	Ἐν ἀσυγκράτῳ γὰρ οὗτοι καὶ ἀσκεπάστῳ, ὥς φησι τὰ λόγια, φύσει πρὸς τῆς ἀνάρχου θεαρχίας ἀρχῆθεν ἐν ἀκαρεῖ ὑπέστησαν, διὸ καὶ κρείττους θανάτου κατὰ χάριν ὑπάρχουσιν· ἐξ οὗ δῆλόν ἐστιν ὡς, εἰ καὶ παρέβησάν τινες τῆς αὐτῆς αὐτοῖς λελαχότες οὐσίας, οὐ τὴν διὰ θανάτου τῆς προπετείας ἔκτισιν, ἀλλ'ἑτέραν τῆς κατὰ τὰ θεῖα ζυγὰ τιννυομένην καταλλήλου ψηφοφορίας ἀπεκδέχονται τιμωρίαν, ἅτε δὴ μήθ' ὅλως τὴν ἐνσώματον ἐξηκότες ζωήν. »
Φάμεν οὖν ὡς λόγος τις ἐκ παραδόσεως ἄνωθεν καὶ ἐκ πατέρων πρὸς ἡμᾶς ἀφῖκται·	Καὶ λέγομεν, πατροπαράδοτον λόγον ὡς ἡμᾶς ἄνωθεν ἀφικόμενον ἔχοντες, ὡς σύναξιν ἐπιτελοῦμεν τοῦ θείου ἀρχαγγέλου Μιχαήλ, ὧδέ πως τηνικάδε κατὰ τὴν ὑπερκόσμιον λῆξιν γεγενημένην
ὡς ὅτε ὁ διάβολος ἐθελοντὴς τῆς κατὰ φύσιν ἑαυτοῦ ἀγαθῆς προαιρέσεως, ἐν ᾗ πρὸς τοῦ πεποιηκότος αὐτὸν ἐξ ἀπαρχῆς ἐγεγένοιτο, ἐθελόκακος ἐξέκλινε καὶ πρὸς λάκκον ὑπερηφανίας κατώλισθεν·	ὁπηνίκα *ὁ πρὶν Ἑωσφόρος καὶ γενόμενος καὶ λεγόμενος*, ἄγγελος γὰρ φωτεινὸς πρὸς θεοῦ δεδημιούργητο, αὐτοκινήτως ἑαυτὸν τῆς κατὰ χάριν ἀγαθῆς ὑπεξήγαγεν ἕξεως καὶ πρὸς ὑπερηφανίας εὐαλλοιώτως (ὢ τῆς πρωτοπαθοῦς τραγῳδίας δι' ἧς πᾶσα παράβασις εἰς τὸν κόσμον ὡδοποιήθη) διάθεσιν τέθεικεν, παρευδοκιμεῖσθαι λογισάμενος εἰ μὴ τῆς τῶν ὁμοταγῶν ὑπεραρθείη ἀγγελικῆς ἰδιότητος καὶ τῷ πεποιηκότι ἐξισωθείη,
εἶπε γὰρ Ἡσαΐας περὶ τῆς αὐτοῦ αὐθαδείας διεξιών· « Σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου " Εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καθιῶ ἐν ὄρει ὑψηλῷ ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βορρᾶν, ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ "»·	καθώς φησιν Ἡσαΐας στηλιτεύων αὐτοῦ τῆς ἀλαζονείας τὸν τρόπον, πρὸς αὐτὸν δῆθεν ἀποτεινόμενος·« Σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου " Εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καθιῶ ἐν ὄρει ὑψηλῷ ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βορρᾶν, ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ "»·
ὅτε τοίνυν ἑαυτὸν ὁ ἀρχέκακος οὗτος τοῖς τοιούτοις λογισμοῖς τῆς αὐτοῦ ἀποστήσας αἰξίας πρὸς ὑπερηφανίας καταπέπτωκε βάραθρον, θεοῦ χωρισθεὶς τοῦ μόνου ἀγαθοῦ καὶ φωτοποιοῦ,	καὶ διὰ τοῦτο θείᾳ κρίσει τῆς τῶν ἀγγέλων ἀλλοτριωθεὶς δόξης τε καὶ λαμπρότητος·
τηνικαῦτα Μιχαήλ, ὁ μέγας ἄρχων, τῆς αὐτοῦ ἡγεμονίας τὴν ἀρχὴν παρὰ θεοῦ ἐγχειρίζεται.	τηνικαῦτα Μιχαήλ, ὁ μέγας ἄρχων, θείας εὐβουλίας ἐξυπηρετούμενος γνώμῃ, ἔρριψεν αὐτὸν ἄνωθεν εἰς τὴν κάτω χώραν *ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων τοῦ θεοῦ*, τὴν θεοπάροχον καὶ φωτοποιὸν χάριν, τὴν πρὸς θεοπτίας ἕξιν καὶ θεοειδείας ὁμοίωσιν τὸν μέτοχον δυναμοποιοῦσαν, εἰκότως ἀφῃρημένον.........(nous sautons un texte d'un folio, non repris par *Coislin*)
Καὶ τοῦτό ἐστι τὸ νῦν πανηγυριζόμενον εἰς τὸν κόσμον ἐν μηνὶ Ἀθῦρ ὀγδόῃ ἤτοι δύο καθ' Ἕλληνας, καθ' ἡμᾶς δὲ Ὀκτωβρίου.	Καὶ τοῦτό ἐστι τὸ νῦν εὐσεβῶς παρὰ χριστιανοῖς ἑορταζόμενον ἐν μηνὶ Ἀθῦρ ὀγδόῃ ἤτοι Νοεμβρίῳ κατὰ Ῥωμαίους.

TEXTE

Conspectus siglorum

A *Vat. gr.* 1669
B *Paris. gr.* 1180

Dans notre édition de l'Eloge nous suivons les règles suivantes : apparat négatif, omission des variantes orthographiques sans influence réelle sur la prononciation et le sens.

ΜΙΧΑΗΛ ΤΑΠΕΙΝΟΥ ΜΟΝΑΧΟΥ[1] ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΥΣ ΤΑΞΙΑΡΧΑΣ ΤΩΝ ΑΓΓΕΛΩΝ ΜΙΧΑΗΛ ΤΕ[2] ΚΑΙ ΓΑΒΡΙΗΛ[3]

I. 1. « Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα »[a] , φησὶν ὁ θεῖος Δαυίδ· κἀγὼ τήμερον μετ'αὐτοῦ ταύτην ἀφίημι τὴν φωνὴν ἐπὶ τῇ μνήμῃ τῶν ἀρχαγγέλων γηθόμενος καὶ πρὸς ὑμνῳδίαν αὐτῶν τῷ πόθῳ ἱέμενος, ὡς ἂν τῆς ἐντεῦθεν εὐωχίας πνευματικῶς προσγινομένης[1] τὴν χάριν πρὸς ἐμαυτὸν ἀπρὶξ[2] ἐπισπάσοιμι καὶ σωτηρίας τῆς ἄκρας ἐμαυτῷ προμνηστεύσοιμι, *θεοῦ* δηλαδὴ *διδόντος ῥῆμα ἐν ἀνοίξει τοῦ στόματος*[b] καὶ προξενούντων ἀγγέλων τοῖς φιλαγγέλοις ἡμῖν, εἴπερ θέμις καὶ ἡμᾶς ὧδε φάναι, ἵν'ὑμνήσῃ *τρίτον φῶς τὸ πρῶτον καὶ δεύτερον*[3c]. 2. Φέρει γὰρ ἡ τῶν ἀσωμάτων νόων[4] θεωρία οὐ τὴν τυχοῦσαν τῷ καθαρῶς προσπελάζοντι[5] λαμπρότητα, καθάπερ ἔστιν ἰδεῖν ἐπὶ τῶν διαφανῶν σωμάτων· προσπεσουσῶν γὰρ τῶν ἡλιακῶν ἀκτίνων τοῖς *πρὸς φωτοδοσίας*[6] *διαπορθμευτικὴν ἕξιν*[d] ἔχουσι σώμασιν, αὐτά τε τῇ διαδόσει τῆς ἐκλάμψεως λαμπρότερα τῆς συνουσιωμένης[7] ἀπεργάζονται καθαρότητος, καὶ πρὸς ἑτέρους τὴν χάριν *εὐδιαδότως χωροῦσαν*[e] δι' ἑαυτῶν[8] παραπέμπουσιν. Τοιοῦτόν ἐστι θεάσασθαι καὶ ἐπὶ τῆς λογικῆς ψυχῆς τοῖς θείοις ἱερῶς[9] ἐνατενιζούσης πράγμασιν[10]· αὐτή τε γὰρ διειδεστέρα τῇ συναφείᾳ τῶν θείων διαδείκνυται θεαμάτων, καὶ μὴν καὶ τοῖς πέλας τῆς ὠφελείας μεταδίδωσιν. 3. Οὐκοῦν εἰλικρινῶς οἱ πίστει συνειλεγμένοι προσέλθωμεν καὶ τῶν θείων θεωριῶν ἐφαψώμεθα (*μὴ*[11] *καθαρὸν*[12] γὰρ *καθαροῦ ἐφάπτεσθαι οὐχὶ θεμιτόν*[13f]) καὶ *λόγῳ*[14] *τρυφήσωμεν*[g] ὡς

tit. [1] Μιχαὴλ μοναχοῦ καὶ ταπεινοῦ B [2] om. B [3] εὐλόγησον πάτερ add. B
I. A ff. 157–157v ; B ff. 322v–323
[1] γινομένης B [2] ἀχωρίστως in marg. gloss. A [3] ἵν' – δεύτερον : καὶ ἀνυμνεῖσθαι τρίτον φῶς καὶ δεύτερον καὶ τὸ πρῶτον B [4] νοῶν A [5] πελάζοντι B [6] φωτοδοσίαν B [7] ἡνούσης B [8] δι'αὐτῶν A [9] καὶ ἱεροῖς B [10] προστάγμασι B [11] οὐ B [12] ὄντα add. B [13] μὴ – θεμιτόν : Γνώμ(η) Πλάτ(ωνος) in marg. gloss. A [14] λόγου B

I. [a] Ps. 118. 131 ; Gr. Naz., *Or.* 12. inc., *PG* 35, 844A. [b] cf. Ephés. 6. 19. [c] cf. Gr. Naz., *Or.* 40. 5, *PG* 36, 364B–C. [d] Dion. Ar., *c. h.* 13. 3, *PG* 3, 301B. [e] ib. 301A. [f] cf. Pl., *Phd.* 67b ; Clem. Al., *Strom.* 5. 4. 19. [g] Gr. Naz., *Or.* 38. 6, *PG* 36, 316D–317A.

λόγου μεμοιραμένοι[15] καὶ λογικότητος ἀξιώματι καὶ *εἰκόνι τῇ*[16] *θείᾳ*[h] τετιμημένοι· τὴν γῆν ἀφέντες κάτω μετὰ τῆς ἁμαρτίας, πρὸς ὕψος τὴν διάνοιαν ἄρωμεν καὶ νῷ καθαρῷ τοὺς τῶν νόων[17] ἀρχηγοὺς ἐπαινέσωμεν, *ἐπὶ τὸ πρῶτον ἀγαθὸν καὶ κυρίως ὄν*[i], τὴν πρώτην[18] θεαρχίαν, μετρίως ἐν πρώτοις ἀναγόμενοι καὶ τῆς τοῦ καλοποιοῦ καὶ ἀρχικοῦ κάλλους ὑπερουσίου καὶ τριφαοῦς θεωρίας *ἀΰλοις καὶ ἀτρεμέσι νοὸς*[19] *ὀφθαλμοῖς*[j] κατὰ τὸ εἰκὸς ἐμφορούμενοι, κἀντεῦθεν *τὴν ἀπειροδύναμον* αὐτῆς *ἀγαθότητα*[k] θεολογίαις ἐκφαντορικαῖς καταγγέλλοντες.

II. Εἴπερ οὖν ἀγαθότητι θεὸς τὸ πᾶν ἐκ τοῦ μὴ ὄντος ὑπεστήσατο, παρ'οὗ πᾶν ἀγαθὸν ἀγαθύνεται τῇ μετοχῇ τῆς ἀγαθαρχικῆς ἀκτῖνος βελτιούμενον, ἀλλ'οὐκ εἰς τὴν θείαν μεθιστάμενον φύσιν, καὶ καθόσον ἀπ'αὐτοῦ μακρύνεται γνώμῃ, οὐ γὰρ τόπῳ, ἐν τῷ τοῦ κακοῦ χώρῳ περιπείρεται[1], *θεὸς* τοιγαροῦν *ἐστι φῶς τὸ ἀκρότατον καὶ ἀπρόσιτον, οὔτε νῷ καταληπτὸν οὔτε λόγῳ ῥητόν*[a], ὡς ὑπὲρ νόησιν ὂν καὶ λόγον[2], ἀΐδιος φύσις καὶ ἀπαράλλακτος, δημιουργικὴ τῶν ὄντων ἁπάντων ὁρατῶν τε καὶ νοουμένων πραγμάτων *οὐσία ὑπερούσιος*[b], ἄναρχος ἀρχὴ καὶ *ὑπεράρχιος ἀρχή*[3c], ἐπέκεινα παντὸς χρονικοῦ διαστήματος, ὡς *ποιητὴς χρόνων*[d]· ἅπασι τοῖς φωτιζομένοις[4] φύσει καὶ κυρίως ἀρχὴ τοῦ φωτίζεσθαι, ὡς φωτὸς οὐσία καὶ τοῦ εἶναι καὶ ὁρᾶν αἴτιος, τρισσοφεγγὴς *ἑνὰς ἑνοποιὸς πάσης ἑνάδος*[e] καὶ ἀσύνθετος τριάς, πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, εἷς τὰ τρία θεὸς καὶ μία θεότητος φύσις ἐν τρισὶ λατρευομένη ταῖς ὑποστάσεσιν· ἀσύγχυτος τριὰς διὰ τὸν τρόπον τῆς ἑκάστου ἀϊδίου ὑπάρξεως, τρισυπόστατος μονὰς καὶ ὁμόδοξος διὰ τὴν μίαν οὐσίαν τε καὶ θεότητα τῶν τριῶν θεαρχικῶν προσώπων ἤτοι ἰδιοτήτων καὶ τὸ ταὐτὸν τοῦ θελήματος καὶ τῆς δυνάμεως καὶ τῆς ἐνεργείας.

III. 1. Οὐ τρεῖς θεοὺς εἶναι δογματίζομεν, ὥς τινες ἐφαντάσθησαν, *τὰς τρεῖς* τῆς μιᾶς *ὑπερθέου θεότητος*[a] ἀκαταλήπτους, ᾗ[1] φύσεως ἔχουσιν, *ὑποστάσεις*[b]· ᾗ

I. A ff. 157–157v ; B ff. 322v–323
[15] μεμυρωμένοι B [16] om. B [17] νοῶν A [18] πρώτην B : θείαν A [19] om. B
II. A ff. 157v–158; B ff. 323–323v
[1] περιτηρεῖται B [2] ὂν – λόγον : μου καὶ λόγου B [3] om. B [4] τοῖς φωτιζομένοῖς : τούτοις φωτίζων ἐν οἷς B
III. A ff. 158–159; B ff. 323v–324
[1] καθό in marg. gloss. A

I. [h] cf. Gen. 1. 26. [i] cf. Dion. Ar., *c. h.* 8. 1, *PG* 3, 237C. [j] Dion. Ar., *c. h.* 1. 2, *PG* 3, 121B. [k] Dion. Ar., *d. n.* 3. 2, *PG* 3, 681D.
II. [a] Gr. Naz., *Or.* 40. 5, *PG* 36, 364 B. [b] Dion. Ar., *d. n.* 1. 1, *PG* 3, 588B. [c] Dion. Ar., *c. h.* 10. 1, *PG* 3, 273A. [d] Gr. Naz., *Or.* 20. 7 ; 39. 12, *PG* 35; 1073B; 36, 348B. [e] Dion. Ar., *d.n.* 1. 1, *PG* 3, 588B.
III. [a] Dion. Ar., *d. n.* 2. 4, *PG* 3, 641A. [b] cf. Gr. Nys., *Ex communibus notionibus*, ed. Mueller, 28, 15–16 (cf. supra p. 120).

γὰρ ἂν ἠγνόησαν τὴν πραγματικὴν τῶν ἀτόμων διαίρεσιν καὶ τὴν αὐτῆς[2] ἀναλυτικὴν μέθοδον οἱ ταῦτα ψευδοκτυπήσαντες[3], ἐκ τῶν καθ' ἡμᾶς πραγμάτων τὰ ὑπὲρ ἡμᾶς ἐνδιαστρόφοις ἐννοίαις σταθμώμενοι; 2. «Ὥσπερ γάρ, φησίν, ὁ Πέτρος, εἰ τύχοι, καὶ ὁ Παῦλος καὶ ὁ[4] Ἰωάννης, ἓν μέν εἰσι κατὰ τὴν οὐσίαν καθότι τῆς αὐτῆς φύσεως, τρεῖς δὲ τῷ τῆς ὑποστάσεως λόγῳ, καὶ οὔ φαμὲν ὅτι εἷς εἰσι διὰ τὸ ταὐτὸν τῆς οὐσίας, τῷ τε γὰρ ἀριθμῷ καὶ τοῖς χαρακτηριστικοῖς ἰδιώμασι κατὰ πολὺ διενηνόχασιν· ταύτῃ τοι κἀπὶ τῆς θείας θεαρχίας εἰπών τις 'τρεῖς θεοὺς' διὰ τὰς τρεῖς ὑποστάσεις, οὐκ ἔξω τοῦ εἰκότος φήσοιεν.» 3. Ἀλλ'εἰ μὲν ἡ πραγματικὴ τῆς καθ' ἡμᾶς θεωρίας διαίρεσις, εἴποι τις ἂν πρὸς ταῦτα, ἐπὶ τῆς ὑπερουσίου καὶ ἀδιαιρέτου κατενοεῖτο τριάδος, εἰκότως ἂν περὶ τοῦ δόγματος ἐξειλήφατε τούτου. 4. Ἐπεὶ δὲ μὴ οἷόν τε τουτὶ[5] γενέσθαι, καθότι πλεῖστον ἀποδέει τῆς ἀληθείας ὁ λόγος πρὸς σύγκρισιν τῆς τῶν κτισμάτων πενίας[6] τὴν ἀσύγκριτον κατασπᾶν ἐκβιαζόμενος φύσιν (καὶ γὰρ ἐπὶ τῆς[7] τῶν ἡμετέρων προσώπων διαιρέσεως, καὶ τὸ πρότερον καὶ ὕστερον κατὰ τὸν χρόνον θεωρεῖται, καὶ τῆς γνώμης τὸ διάφορον καὶ ἡ τοπικὴ τῶν σωμάτων[8] διάστασις, ἐξ ὧν ἡ παμμακαρία καὶ ὑπερούσιος καθαρεύειν πεπίστευται τρισυπόστατος θεότης), τούτου χάριν ψευδεῖς αἱ ἀποδείξεις ὑμῖν περιστήσονται· οὐ γὰρ τὸ μεσολαβοῦν ἐκεῖ κατά τε χρόνον καὶ τόπον πέφυκεν, ἵνα διέλῃς πραγματικῶς τὰ τῇ[9] ἀληθείᾳ ἀχώριστα, οὔτε μὴν θελήματος διαφορότης ἐπινενόηται, διὰ τὸ μίαν εἶναι τήν τε θέλησιν καὶ ἐνέργειαν τῶν τριῶν θεαρχικῶν προσώπων ἀλλ'οὐ τρεῖς ὁμοίας ἀλλήλαις[10]. 5. Ὅθεν ἐπὶ ἡμῶν[11] μὲν ἡ τῆς φύσεως ἑνότης λόγῳ[12] καὶ ἐπινοίᾳ θεωρεῖται, ἡ δὲ τῶν ὑποστάσεων διαίρεσις πράγματι διὰ τὰς προειρημένας ἐπιθεωρεῖται αἰτίας[13], *ἐπὶ δὲ τῆς ἀπροσίτου καὶ ἀκαταλήπτου τριάδος, τὸ ἀνάπαλιν· ἐκεῖ γὰρ τὸ μὲν κοινὸν καὶ ἓν πράγματι θεωρεῖται διά τε τὸ συναΐδιον καὶ τὸ ταὐτὸν τῆς οὐσίας καὶ τὸ ἓν ἔξαλμα τῆς κινήσεως*[c], ἐπινοίᾳ δὲ τὸ διῃρημένον, *ἕνα γὰρ θεὸν γινώσκομεν, ἐν μόναις δὲ ταῖς ἰδιότησι τῆς τε πατρότητος καὶ τῆς υἱότητος καὶ τῆς ἐκπορεύσεως, κατά τε*[14] *τὸ αἴτιον καὶ τὸ*[15] *αἰτιατὸν καὶ τὸ τέλειον τῆς ὑποστάσεως ἤτοι τὸν τῆς ὑπάρξεως τρόπον, τὴν διαφορὰν ἐννοοῦμεν*[d]. 6. Καὶ ὧδε μὲν ταῦτα ἐξ ἀναγκαίου διὰ τοὺς φιλέριδας ὡς ἐν κεφαλαίῳ εἰρήσθω καὶ μικροῦ δυσανάτρεπτον τὴν τριθεϊτῶν[16] τιθεμένους ὑπόληψιν· ἐπὶ δὲ τὰ ἑξῆς τῆς ἀκολουθίας[17] ὁ λόγος χωρείτω.

III. A ff. 158–159; B.ff. 323v–324
[2] ταύτης B [3] ψευδολογήσαντες B [4] om. B [5] τὶ B [6]τῆς – πενίας : εἰς τὴν τῶν πταισμάτων πενίαν B [7] om. B [8] ἡ – σωμάτων : ἡ τῶν πηλίκων σωμάτων B [9] πραγματικῶς τὰ τῇ : πραγματικωτάτῃ B [10] ἀλλήλων B [11] ἐπὶ ἡμῶν : ἐπιεικῶς B [12] λόγου B [13] αἰτίας ἐπιθεωρεῖται B [14] om. B [15] om. B [16] τριθεῇ B [17] τὰ ἑξῆς τῆς ἀκολουθίας : τῆς ἀκολουθίας τὸ ἑξῆς B

III. [c] cf. Joh. Dam., *Expositio fidei 8*, ed. Kotter II, p. 28, 238–244 (τὸ ἓν ἔξαλμα τῆς κινήσεως, cf. Gr. Naz., *Or.* 40. 5, *PG* 36, 364 B). [d] id., p. 29, 250–253.

IV. 1. Δεύτερον φῶς ἄγγελος, *ἐκ τοῦ πρώτου φωτὸς καὶ ἀνάρχου*[a] τὴν σύστασιν εἰληφώς, *εἰκὼν θεοῦ*, ἧ[1] φησιν ὁ μέγας καὶ πολὺς τὰ θεῖα Διονύσιος, *φανέρωσις τοῦ ἀφανοῦς φωτός, ἔσοπτρον ἀκραιφνὲς διειδέστατον*[b], τῆς θεαρχικῆς ἐνδότητος μύστης, *πατροκινήτου φωτοχυσίας*[c] ὑποδοχεύς, πνεῦμα καὶ πῦρ, ὥς[2] φησιν ὁ προφήτης καὶ βασιλεὺς Δαυίδ· « Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον »[d], νοῦς ζῶν *περὶ οὗ κυρίως ἔστιν εἰπεῖν· « Νοῦς ὁρῇ*[3] *καὶ νοῦς ἀκούει »*[e]· πρὸ πάσης τῆς ὁρατῆς κτίσεως ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ὑπὸ τοῦ θεοῦ παρηγμένος, πρὸς δοξολογίαν τῆς αὐτοῦ παναιτίου καὶ πρυτανευτικῆς ἀγαθότητος ἀκαταλήκτως προσφέρει[4] ὑπερκοσμίοις χείλεσι τὴν τρισάγιον δοξολογίαν, καθὼς ἡ ἐκφαντορία προδήλως παρίστησιν, « Εἶδον τὸν κύριον, λέγουσα, καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ, καὶ[5] σεραφὶμ εἱστήκεισαν[6] κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνὶ καὶ ἓξ πτέρυγες τῷ ἑνί, καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὰ πρόσωπα ἑαυτῶν[7]· ταῖς δὲ δυσὶν ἐκάλυπτον τοὺς πόδας ἑαυτῶν[8] καὶ ταῖς δυσὶν ἐπέταντο, καὶ ἐκέκραγεν[9] ἕτερος πρὸς τὸν ἕτερον καὶ ἔλεγεν[10]· ' Ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ' »[f]. 2. Ὦ θεολογίας ἀπεξεσμένης δόγματα· ἐπειδὴ γὰρ εἷς θεός ἐστι τὸ λατρευόμενον[11] ἤτοι μία οὐσία ὑπερούσιος ἐν τρισὶ τελείαις ταῖς ὑποστάσεσι γνωριζόμενος, μήτε τῆς τῶν ὑποστάσεων διαφορᾶς τὸ τῆς φύσεως συνεχὲς διασπώσης, μήτε μὴν τῆς[12] κατὰ τὴν οὐσίαν κοινότητος τὸ ἰδιάζον τῶν γνωρισμάτων ἀναχεούσης, εἰκότως οἱ σεραφὶμ περιϊστᾶσι κύκλῳ τὸν ὑπερφυᾶ τε καὶ ἐπηρμένον θρόνον[13], τὴν τρισάγιον ᾠδὴν πυρίνοις τοῖς χείλεσιν τῇ ἀσυγχύτῳ καὶ ἀδιαιρέτῳ προσάγοντες τρισσοφεγγεῖ ἑνάδι, ἵνα σύ, τὴν ἰσοτιμίαν τῶν ἐναρχικῶν[14] προσώπων καὶ τὸ ἀδιάστατον μυηθείς, κηρύξῃς τῆς ἁγίας μονάδος τὴν τρισυπόστατον κυριότητα, διὰ μὲν τῆς τρισσῆς ἁγιότητος τὴν τῶν ἰδιοτήτων ἀπαρίθμησιν εὐσεβῶς κατηχούμενος, διὰ δὲ τῆς μιᾶς κυριότητος τὸ συνεχὲς τῆς οὐσίας πάλιν καὶ[15] τὸ μοναδικὸν τῆς φύσεως καὶ ταὐτοθελὲς[16] καὶ ταὐτόδοξον καὶ ὁμοδύναμον καὶ συναΐδιον τῶν τριῶν θεαρχικῶν ὑποστάσεων. Ἀλλ' ἐπὶ τὴν ὑπόθεσιν τῆς πανηγύρεως ἔλθωμεν καὶ τῆς ἐνεστώσης χαρᾶς ἐφαψώμεθα.

IV. A ff. 159v–160; B ff. 324–324v
[1] ὅ B [2] om. B [3] ὁρᾷ B [4] προσφέρειν AB [5] τὰ add. B [6] om. B [7] αὐτῶν B [8] om. B [9] ἐκέκραγον B [10] ἔλεγον B [11] ὁ λατρευόμενος B [12] om. B [13] om. B [14] ἀναρχικῶν B [15] om. B [16] τὸ αὐτοθελὲς AB

IV. [a] cf. Joh. Dam., *Expositio fidei* 17, ed. Kotter, II, p. 46, 25. [b] Dion. Ar., *d. n.* 4. 22, *PG* 3, 724B. [c] cf. Dion. Ar., *c. h.* 1. 1, *PG* 3, 120B. [d] Ps. 103. 4. [e] cf. Joh. Phil., *De opificio mundi* ed. Reinhardt, p. 56, 5–6 (Νοῦς ὁρῇ καὶ νοῦς ἀκούει, Epicharmi fr. 249). [f] Is. 6. 1–3.

V. 1. Καλῶ γὰρ αὖθις ὑμᾶς, ὦ ἱερὸν καὶ θεοσύλλεκτον ἄθροισμα, πανηγυριστοῦ τάξιν διὰ τὴν χάριν τῶν ἀσωμάτων ἐπέχων, ἐπαμῦναί *μοι*[1] *περὶ τὸν λόγον κάμνοντι*[a], καὶ ἄλλος ἄλλο τι τῇ ἑορτῇ καρποφορείτω τοῖς ἱεροῖς ταξιάρχαις[2] μικρὸν ἢ μεῖζον δῶρον ἑόρτιον, « Οὐκ ὀφθήσῃ γάρ, φησί, κενὸς ἐναντίον μου »[b], ἀλλ'εἴ τι καλὸν μετὰ σεαυτοῦ φέρων· ὅσοι μάλιστα τὰς ἀφθόνους αὐτῶν θαμινὰ διὰ πίστεως εὐεργεσίας εἰώθατε δρέπεσθαι, οἱ καὶ τοὺς θείους ναοὺς ἡμῖν ζακορεύοντες[3] καὶ τὴν ἑκάστῳ[4] ἐπισκιάζουσαν ποικίλην τε καὶ σωτήριον χάριν. 2. Καὶ ὁ μὲν ἔπιπλον ἐκ λαμπρᾶς ἀνατιθέτω τῆς προαιρέσεως, ὁ δὲ κηροὺς τῷ σηκῷ προσαπτέτω, ἕτερος ἔλαιον ἢ ἀναφορὰν εἰσκομιζέτω, μὴ τῷ βραχεῖ τοῦ δώρου τὴν ψυχὴν ἐνδοιάζων, ἐν νῷ τὴν χήραν ἐκείνην περιφέρων τὴν τὰ δύο καταβαλοῦσαν ἐν τῷ γαζοφυλακίῳ, ὡς λέλεκται[5], λεπτὰ καὶ πλείω πάντων πρὸς τοῦ σωτῆρος μαρτυρηθεῖσαν εἰς τὰ τοῦ θεοῦ καταβεβληκέναι δῶρα[c]· οὐ γὰρ ποσότητι δώρων, ἀλλὰ μεγέθει προθέσεως θεῷ τὸ πλέον ἐγκρίνεται. 3. Ἄλλος πίστιν ὀρθόδοξον σὺν ἀκραιφνεῖ προσαγέτω[6] βίῳ, ὃ δὴ καὶ μέγιστον εἰς εὐδαιμονίας ἐμπόλημα καὶ ὀλίγοις ὄντως κατορθούμενον, « Λύσιν γὰρ κακῶν παῦροι συνιᾶσιν »[d], τὰ γὰρ ἐκτὸς οὐ πάντων οὐδὲ τῶν ἐφ' ἡμῖν, ἀλλὰ τῆς προνοίας· ἕτερος τὴν ἐν τυπωτικοῖς[7] συμβόλοις τῶν ἱερῶν ἀναπλασμάτων γινομένην ἀρχαγγελοειδῆ δασμοφορείτω ἐμφέρειαν, ψυχαγωγίαν ὅτι μάλιστα πλείστην τοῖς πλείοσιν[8] ἔνθεν καὶ ἑαυτῷ πραγματευόμενος, ἂν ἄρα γε καὶ ποθητῶς περὶ τοὺς εὐεργέτας διάκεισαι. 4. Ἔστι γὰρ καὶ τοῦτο τῆς θείας θεσμοθεσίας ἰδιαίτατον[9] χρῆμα καὶ τῆς ἡμετέρας πίστεως *ἰεζ ἐρ*[10e], τὸ *τὰς ἀΰλους*[11] φημὶ τῶν ὑπερκοσμίων νόων[12] *ἱεραρχίας ὑλαίοις σχήμασιν καὶ μορφωτικαῖς συνθέσεσιν*, ὡς ὁ πάμμεγάς φησι τῶν Ἀθηνῶν πρωτεπίσκοπος καὶ τῆς ἀποστολικῆς μέτοχος χάριτος, *διαποικίλλειν*, ὡς ἂν *ἀναλόγως*[13] *ἡμῖν αὐτοῖς ἀπὸ τῶν ἱερωτάτων πλάσεων ἐπὶ τὰς ἁπλᾶς καὶ ἀτυπώτους ἀναχθῶμεν ἀναγωγάς*[14] *τε καὶ ἀφομοιώσεις· ἐπεὶ μὴ δυνατὸν τῷ καθ' ἡμᾶς νῷ πρὸς τὴν ἄϋλον ἐκείνην ἀναταθῆναι τῶν οὐρανίων διακόσμων μίμησίν τε καὶ θεωρίαν, εἰ μὴ τῇ κατ'αὐτῶν ὑλαίᾳ*[15] *χειραγωγίᾳ χρησαίμεθα, τὰ φαινόμενα κάλλη τῆς ἀφανοῦς εὐπρεπείας ἀπεικονίσματα εὐσεβῶς λογιζόμενοι*[16f]. 5. Ἄλλος μηλοσφαγίαις ἢ βουθυσίαις τῆς εἰς τοὺς πένητας χάριν εὐσπλαγχνίας τούτους ἀποσεμνυνέτω·

V. A ff. 160–161v; B ff. 324v–325

[1] ἐπαμῦναί μοι : καὶ B [2] ταξιάρχαις B : ἀρχαγγέλοις A [3] ζακορεύοντες conj. pater Paramelius : ἀγορεύοντες A διαγορεύοντες B [4] ἑκάστου B [5] ὡς λέλεκται B : om. A [6] προσαγέσθω B [7] τυπωτικὴν B [8] πλείοσιν B : πλησίον A [9] ἰδιώτατον B [10] ἰεζέρ: ἅγιον ἀνάθημα A ἰεζὲρ ἀνάθημα ἅγιον ἑβραϊκῶς B [11] τὸ τὰς ἀΰλους : om. B [12] νοῶν A [13] λόγος B [14] ἀγωγάς B [15] om. A [16] λογιζόμεθα B

V. [a] cf. Gr. Naz., *Or.* 21. 10, *PG* 35, 1092C. [b] Deut. 16. 16. [c] cf. Lc. 21. 2–3. [d] Ps. Pyth., *Carm. Aur.* 56. [e] cf. IV Rois 11. 12 ; F. Wutz, *Onomastica sacra* (*TU* 41–42), p. 330, n. 1. [f] cf. Dion. Ar., *c. h.* 1. 3, *PG* 3, 121CD.

δεκτέα γὰρ ταῦτα θεῷ καὶ φίλα τοῖς μακαρίοις ἀρχιστρατήγοις καὶ πολλὴν προξενοῦντα τῆς ἄνωθεν προνοίας τὴν σωστικὴν ἀντιμισθίαν, ὡς τῆς νομικῆς θυσίας τῷ ὄντι σεμνότερα καὶ τῆς Ἀχαιῶν[17] δεισιδαίμονος ἑκατόμβης ὑπεραπείρως κρειττοτερα, ὅσω[18] γε καὶ τὸ σέβας διάφορον. 6. Ἐγὼ δὲ λόγον, καθάπερ τινὰ στέφανον, εἰ καὶ πολὺ τῆς ἀξίας ἀποδέοντα, τοῖς ἐμοῖς μετὰ θεὸν καλλιερήσω δεσπόταις, ὁ πάντων φιλοχρίστων ὑπάρχων πενέστερος, ἐκ τῶν τοῦ πνεύματος λειμώνων τὰ ἄνθη συλλελεχὼς[19] καὶ τοῦτον ἁμωσγέπως[20], πλὴν ἐκ πίστεως, ἀναδήσας, ὡς ἂν ἔχοιμεν ἐν τῇ παννύχῳ ταύτῃ καὶ φωτολαμπεῖ τῆς ἀγρυπνίας ὑμνολογίᾳ[21] ποσῶς γ'οὖν πνευματικῆς εὐωχίας ἐμπύρευμα, ἄλλως τε ἵν' ἐξῇ καὶ ἐμοὶ σὺν ὑμῖν προσελθόντι θεοφιλῶς πανηγυρίσαι· κοινοποιεῖται γὰρ ἡ τῶν σεβαστῶν ἀρχαγγέλων τοῖς πιστῶς συνελθοῦσιν πανίερός τε λειτουργία, εὐφροσύνην ἁπλῶς ἐμποιοῦσα τὴν διὰ πνεύματος ἁγίου τοῖς ἀξίοις προσγινομένην.

VI. 1. Ἐκεῖνο δ'ἄν τις οὐκ ἀπεικότως προσερήσαιτο τῶν λίαν ἐπεσκεμμένων τὰ θεῖα καὶ πρὸς τὴν ἐξέτασιν τῶν προβλημάτων εὐθυβόλως φιλοπευστούντων· « Ὅτου δὴ χάριν τὴν μνείαν ταύτην τῶν ἀρχαγγέλων πανηγυρίζειν ἡ ἐκκλησία παρείληφεν, καὶ τί βούλεται παριστᾶν τῆς ἑορτῆς ἡ ὑπόθεσις ; Οὐ γὰρ δή γε πάντως αὐτοὶ *τῆς κάτω πεφύκασι*[1] *κατὰ τὴν φύσιν συνθέσεως*[a] καὶ τριχῇ διαστατοῖς περιβέβληνται σώμασιν, ἵνα φαίη τις αὐτοὺς τὴν ἐκ τούτων καθ'ὁμοιότητα[2] ἡμῶν ὑπομεῖναι διάζευξιν καὶ τοῦτο τήμερον ἑορταστικῶς[3] ἄγειν. Ἐν ἀσυγκράτῳ γὰρ οὗτοι καὶ ἀσκεπάστῳ, ὥς φησι[4] τὰ λόγια, φύσει πρὸς τῆς ἀνάρχου θεαρχίας ἀρχῆθεν ἐν ἀκαρεῖ ὑπέστησαν, διὸ καὶ κρείττους θανάτου κατὰ χάριν[5] ὑπάρχουσιν· ἐξ οὗ δῆλόν ἐστιν ὡς, εἰ καὶ παρέβησάν τινες τῆς αὐτῆς αὐτοῖς λελαχότες[6] οὐσίας, οὐ τὴν διὰ θανάτου τῆς προπετείας ἔκτισιν, ἀλλ' ἑτέραν τῆς κατὰ τὰ[7] θεῖα ζυγὰ τιννυομένην καταλλήλου[8] ψηφοφορίας ἀπεκδέχονται τιμωρίαν, ἅτε δὴ μήθ' ὅλως τὴν ἐνσώματον ἐζηκότες ζωήν. » 2. Καὶ λέγομεν, πατροπαράδοτον λόγον ὡς ἡμᾶς ἄνωθεν ἀφικόμενον ἔχοντες[9], ὡς σύναξιν ἐπιτελοῦμεν τοῦ θείου ἀρχαγγέλου Μιχαήλ[10], ὧδέ πως τηνικάδε κατὰ τὴν ὑπερκόσμιον λῆξιν γεγενημένην· ὁπηνίκα *ὁ πρὶν Ἑωσφόρος*[b] *καὶ γενόμενος*

V. A ff. 160–161v; B ff. 324v–325

[17] ἀρχαίων B [18] κρειττώτερα ὅσω B : ἀνώτερα ὅσον A [19] συνειλεχὼς B [20] ὅμως γέ πως B [21] ὁμολογίᾳ B

VI. A ff. 161v–163; B ff. 325–326v

[1] αὐτοὶ ... πεφύκασι : αὐτοῖς ... πεφυκῶσι B [2] τὴν ἐκ τούτων καθ'ὁμοιότητα : τ'εἶναι τούτων καθ'ὁμοιότητα ἢ τὴν B [3] ἀστικῶς B [4] γὰρ add. B [5] ὑπέστησαν – κατὰ χάριν : om. B [6] λελογχότες A [7] om. B [8] κατάλληλον B [9] πατροπαράδοτον – ἔχοντες post γεγενημένην l. 16 (ὡς in πρὸς mutato) transp. B [10] ἐπιτελοῦμεν – Μιχαήλ : ἐπιτελοῦντες τοῦ ἀρχαγγέλου τοῦ θείου B

VI. [a] cf. Gr. Nys. *Quod non sint tres dii*, ed. Mueller, 41, 19. [b] Is. 14. 12.

καὶ λεγόμενος[c] (ἄγγελος γὰρ φωτεινὸς πρὸς θεοῦ δεδημιούργητο[11]) αὐτοκινήτως ἑαυτὸν τῆς κατὰ χάριν ἀγαθῆς ὑπεξήγαγεν ἕξεως καὶ πρὸς ὑπερηφανίας[12] εὐαλλοιώτως (ὢ τῆς πρωτοπαθοῦς τραγῳδίας δι'ἧς πᾶσα παράβασις εἰς τὸν κόσμον ᾠδοποιήθη) διάθεσιν τέθεικεν, παρευδοκιμεῖσθαι λογισάμενος, εἰ μὴ τῆς τῶν ὁμοταγῶν ὑπεραρθείη ἀγγελικῆς ἰδιότητος καὶ τῷ πεποιηκότι ἐξισωθείη, καθώς φησιν Ἡσαΐας στηλιτεύων αὐτοῦ τῆς ἀλαζονείας τὸν τρόπον[13], πρὸς αὐτὸν δῆθεν ἀποτεινόμενος· « Σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ[14] σου "Εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου, καθιῶ ἐν ὄρει ὑψηλῷ ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ[15] τὰ πρὸς Βορρᾶν, ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ"»[d], καὶ διὰ τοῦτο θείᾳ κρίσει τῆς τῶν ἀγγέλων ἀλλοτριωθεὶς δόξης τε καὶ λαμπρότητος· τηνικαῦτα Μιχαήλ, ὁ μέγας ἄρχων, θείας εὐβουλίας[16] ἐξυπηρετούμενος γνώμῃ, ἔρριψεν αὐτὸν ἄνωθεν εἰς τὴν κάτω χώραν *ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων τοῦ θεοῦ*[e], τὴν θεοπάροχον καὶ φωτοποιὸν χάριν, τὴν πρὸς θεοπτίας ἕξιν καὶ θεοειδείας ὁμοίωσιν τὸν μέτοχον δυναμοποιοῦσαν, εἰκότως ἀφῃρημένον, καθὼς ὁ θειότατος ὑπηγόρευσεν Ἰεζεκιὴλ τάδε πρὸς αὐτὸν διεξιών· « Ἀφ' ἧς ἡμέρας ἐκτίσθης, κατεσκευάσθης μετὰ τοῦ χερουβ καὶ ἔθηκά σε ἐν ὄρει ἁγίῳ θεοῦ »[f], καὶ μετὰ βραχέα· « Ἀπὸ γὰρ πλήθους τῆς περιδρομῆς σου ἔπλησας ταμιεῖά σου ἀτιμίας, καὶ ἥμαρτες καὶ ἐτραυματίσθης ἀπὸ ὄρους τοῦ θεοῦ, κατήγαγέν σε τὸ χερουβ τὸ συσκιάζον ἐκ μέσου λίθων πυρίνων, ὑψώθη ἡ καρδία σου ἐπὶ τῷ κάλλει σου, διεφθάρη ἡ ἐπιστήμη σου μετὰ τοῦ κάλλους σου, διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν σου ἐπὶ τὴν γῆν[17] ἔρριψά σε, ἐναντίον βασιλέων ἔδωκά σε[18] παραδειγματισθῆναι »[g]. 3. Τούτου γ[19]'οὖν τοῦ ἀποστάτου δαίμονος σὺν τοῖς ὑπ'αὐτῷ[20] πονηροῖς πνεύμασιν *ὡς ἀστραπῆς πρὸς γῆν κατασπασθέντος*[h], ὁ ἀρχιστράτηγος Μιχαὴλ ἐντὸς *τῶν οὐρανίων πτυχῶν*[i] γενόμενος[21] ὀμφήν[22] τινα ἀρχαγγελικωτάτην καὶ οἷον συνακτικὴν πρὸς τοὺς ἀγγέλων δήμους ἀφίησι μόνον οὐχὶ πρὸς σκέψιν αὐτοὺς καὶ συναίσθησιν συμβιβάζων καὶ φάσκων· « Πρόσχωμεν[23] », τοῦτ' ἔστι· « Προσέχωμεν ἑαυτοῖς, θεασώμεθα, ἐπιγνῶμεν τί ἐκεῖνος πέπονθεν διὰ τῆς ἀλαζονείας καὶ τῆς πρὸς τὸν πεποιηκότα καταφρονήσεως ». 4. Ὅπερ δὴ θεῖον τῷ ὄντι καὶ ἀγγελικὸν ἐπίφθεγμα ἢ[24] *κατὰ τὴν τάξιν Μελχισεδὲκ*[j] διὰ τῆς μεσιτείας καὶ προσενέξεως *τοῦ μεγάλου* καὶ πρώτου *ἀρχιερέως Ἰησοῦ* Χριστοῦ, *τοῦ διεληλυθότος τοὺς οὐρανούς*[k], μιμήσει τῶν ὑπερουρανίων ἱεραρχιῶν ἱερᾶσθαι ἀξιω-

VI. A ff. 161v–163; B ff. 325–326v

[11] ἄγγελος – δεδημιούργητο : om. A [12] ὑπερηφανίαν B [13] τὸν τρόπον τῆς ἀλαζονείας B [14] καρδίᾳ B [15] τὰ ὑψηλὰ : om. B [16] βουλῆς B [17] τῆς γῆς B [18] ἔδωκά σε : om. B [19] om. B [20] αὐτοῦ B [21] γενάμενος B [22] φωνήν B [23] μόνον — φάσκων : λέγων A λέγων· « Πρόσχωμεν » μόνον — φάσκων B [24] ἐπίφθεγμα ἢ : τὸ B

VI. [c] cf. Gr. Naz., *Or.* 38. 9; 45. 5, *PG* 36, 321A; 629B. [d] Is. 14. 13–14. [e] Job. 40. 19 = 41. 25. [f] Ez. 28. 13–14. [g] ib. 16–17. [h] Lc. 10. 18. [i] cf. Eu. *Ph.* 84. [j] Ps. 109. 4; Hébr. 5. 6. [k] Hébr. 4. 14.

θεῖσα παρέλαβέ τε καὶ κεκράτηκε[25] καθ' ἡμᾶς ἱερωσύνη, τῷ καιρῷ τῆς μυστικῆς καὶ ἀναιμάκτου θυσίας πρὸ τῆς ἐνάρξεως τῶν θεοτελῶν μυστηρίων, ἀνερχομένου οἷα ἐπ' ὄρους θεοῦ τοῦ ἱεροῦ ἄμβωνος ἑνὸς τῶν ὑπουργούντων τῇ θείᾳ χάριτι Λευιτῶν, καὶ πρὸς ὑπήκοον[26] τῶν εἴσω τηνικάδε τῆς οὐρανομιμήτου ταύτης καταξιουμένων ἑστάναι ἐκκλησίας γεγωνοτέρᾳ προσφθεγγομένου τῇ φωνῇ· « Τὰς θύρας, τὰς θύρας » μετὰ τὸν θεῖον ἀσπασμόν, δῆλον ὅτι ὃν οὐκ ἄλλο τι τεκμαίρεσθαι χρεὼν ἢ τὴν ἐν τῷ πνεύματι τῶν συνεληλυθότων[27] ὁμοφροσύνην καὶ τὴν περὶ τὸ ταὐτὸν τῆς πίστεως τῶν διαφόρων ὁμολογίαν· πρὸς ὃν ἀπαμειβόμενος[28] ἕτερος τῶν τῆς αὐτῆς τάξεως πρὸς αὐτῷ τῷ ἱλαστηρίῳ ἀγγελομιμήτως παριστάμενος ἐκφωνεῖ τρανότερον[29] λέγων· « Πρόσχωμεν ». 5. Καὶ οὕτω σὺν τῇ φωνῇ τοῦ Λευίτου αἱ μὲν βασιλικαὶ λεγόμεναι τοῦ ἐπιγείου τούτου οὐρανοῦ κατακλείονται πύλαι, ἐντὸς τοὺς ἀξίους ὄντας τῆς θεοποιοῦ ἀναφορᾶς πρός τε ἐποπτείαν καὶ ὑποδοχὴν ὡς τὰ ἀγγέλων διαπραττομένους ἔχουσαι ἔργα, τοὺς δὲ τὰ ἐκείνου μιμουμένους ἢ καὶ συντελοῦντας θεομίσητα[30] θελήματα, ὡς τῆς ἐκείνου ἔτι[31] μερίδος, πόρρω τῶν ἱερῶν καὶ τῆς εὐαγοῦς διϊστῶσαι ποίμνης. Καὶ τοῦτό ἐστι τὸ νῦν εὐσεβῶς παρὰ[32] χριστιανοῖς ἑορταζόμενον ἐν μηνὶ Ἀθὺρ ὀγδόῃ ἤτοι Νοεμβρίῳ κατὰ Ῥωμαίους.

VII. 1. Φεῦ τῆς ματαίας οἰήσεως, φεῦ τῆς παραλόγου ἐπάρσεως, παπαὶ τῆς ἀγνωμοσύνης τοῦ τετιμημένου, ὢ τῆς ἀχαριστίας τοῦ κτίσματος· ἐκεῖνος *μὴ ἐνέγκας τὸν φωτισμὸν καὶ τὴν τιμὴν*[a], ἣν παρὰ τοῦ δημιουργοῦ καὶ τῆς αὐτοῦ καὶ πάντων αἰτίας[1] ὡς λογικὸς καὶ κατ'εἰκόνα θεοῦ γεγενημένος ἀπειλήφει[2], τοῦ εὐεργέτου κατεξανίσταται κατά γε τὸ εἰς αὐτὸν ἧκον, καὶ διὰ τοῦτο *σκότος ὁ πρὶν ἑωσφόρος γίνεται*[b], καὶ ὕποπτος ἀντὶ φίλου, καὶ ἀντὶ λειτουργοῦ Σατᾶν, καὶ δαίμων ἀντὶ ἀγγέλου. 2. Οὗτος δὲ[3] διὰ τῆς εὐγνωμοσύνης καὶ τῆς πρὸς θεὸν ἐπιμόνου προσεδρείας καὶ[4] τὴν ἐκ τἀγαθοῦ ἀμετακίνητον ἵδρυσιν ἐκτικῶς[5] προσεπικτᾶται καὶ πρὸς ἐπιθήκην ὁσημέραι θεοειδείας ἐπανάγεται καὶ *στρατηγὸς ἀπὸ θεοῦ*[c] ἀληθῶς, κατὰ[6] τὴν τῆς οἰκείας προσηγορίας ἔκφανσιν[7], ἀποδείκνυται καὶ παρὰ πάσης ὡς ἄξιος αἰτιωδῶς ὑμνολογεῖται τῆς χριστιανικῆς ὁμηγύρεως, οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλὰ πρὸς αὐτῆς τῆς θεοτεύκτου βίβλου τῆς ἀξίας τὸ ἐχέγγυον θεοπαρόχως κληρωσάμενος, ὡς ἔστιν ἀκοῦσαι τῆς ὑποφητικῆς σάλπιγγος « Καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀναστήσεται Μιχαὴλ ὁ μέγας ἄρχων, περὶ τῆς

VI. A ff. 161v–163; B ff. 325–326v

[25] ἡ add. B [26] ἐπήκοον B [27] συνελθόντων A [28] ἐπαμειβόμενος B [29] τρανῶς A [30] θεομισῆ B [31] ὄντας B [32] ἐστι – παρὰ : om. B

VII. A ff. 163–164v; B ff. 327–327v

[1] αἰτίου B [2] ὑπειλήφει B [3] om. A [4] om. A [5] εὐεκτικῶς B [6] καὶ B [7] ἔμφανσιν B

VII. [a] cf. Joh. Dam., *Expositio fidei* 18, ed. Kotter II, p. 49, 5–6. [b] cf. Gr. Naz., *Or.* 38. 9; 45. 5, *PG* 36, 321A; 629B. [c] cf. F. Wutz, *Onomastica sacra* (*TU* 41–42), p. 184.

συντελείας λέγων[8], ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου »[d]. 3. ῏Ω μαρτυρίας ἀμεταπείστου τὸ ἀπαράγραπτον[9] εἰς αἰῶνας[10] ἀριφραδῶς διατηρούσης· Μιχαὴλ ὁ μέγας ἄρχων, φησίν, *ἐν τῷ καιρῷ ἐκείνῳ ἀναστήσεται*[e]. Τίνων ἄρχων; τῶν ἀγγελικῶν στρατευμάτων, τῶν ἀρχαγγελικῶν συμμοριῶν, τῆς πυριμόρφου στρατολογίας. Μιχαὴλ ὁ μέγας ἄρχων τῆς ἀκηράτου χάριτι[11] τῶν ἀσωμάτων λεγεῶνος, Μιχαὴλ ὁ μέγας ἄρχων, ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου· τοῦτ'ἔστιν, τῆς ἐκλεκτῆς Χριστοῦ κληρουχίας, τῆς τὰς ἐντολὰς τοῦ θεοῦ καὶ πατρὸς τηρησάσης καὶ φυλαξάσης, οὐ μόνον κατὰ τὴν διὰ Μωσέως προσελθοῦσαν εἰς τὸ γένος νομοθεσίαν, ἀλλά γε καὶ κατὰ *τὴν καινὴν διαθήκην*[f], *ἣν* αὐτὸς *ἐνεκαίνισεν ἡμῖν*[g] *ὁ τῆς μεγάλης βουλῆς Ἄγγελος*[h] καὶ τῆς πατρικῆς ἀπαραλλάκτως ἀρχετυπίας Εἰκών, ὁ *θεαρχικὸς Ἰησοῦς*[i], *τῷ οἰκείῳ αἵματι τῆς δουλείας ἡμᾶς ἐξαγοράσας*[j] καὶ τὴν υἱοθεσίαν ἐμπεδώσας. 4. Μιχαὴλ ὁ μέγας ἄρχων, ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου, συνέδραμε τῇ προσηγορίᾳ τὸ ἐπιτήδευμα τῆς ἀξίας· Μιχαὴλ γὰρ στρατηγὸς ἀπὸ θεοῦ ἑρμηνεύεται καθ'ἑβραϊκὴν διασάφησιν· οὐχ ἁπλῶς δὲ στρατηγὸς ὁ μυστηριάρχης[12] Μιχαὴλ ἀναδέδεικται[13], ἀλλά γε καὶ διστράτηγος πραγματικῶς ἀνηγόρευται· τῶν τε γὰρ ἀσωμάτων λειτουργικῶν δυνάμεων ἔξαρχος ὁ τρισόλβιος πέφυκεν, καί γε τοῦ Ἰουδαίων λαοῦ σκηπτοῦχος δημαγωγὸς πρὸς τῆς ἀγαθαρχίας τηνικαῦτα προσβέβληται[14]. « Οὐκ ἔστι γάρ, φησίν, εἷς ἀντεχόμενος μετ' ἐμοῦ περὶ τούτων, ὁ πάλαι τῷ Δανιὴλ κατὰ πρόσταξιν σχηματίσας θεοῦ ἄγγελος, ἀλλ' ἢ Μιχαὴλ ὁ ἄρχων ἡμῶν »[k]. Μιχαὴλ ὁ μέγας ἄρχων, ὁ πρὸς ἐπικουρίαν δραστικὸς ὑπέρμαχος, καθὼς αὖθις μαρτυρεῖ περὶ αὐτοῦ ἡ θεολογία· « Ἰδοὺ Μιχαὴλ εἷς τῶν ἀρχόντων τῶν πρώτων ἦλθεν βοηθῆσαί μοι, περί τινος τῶν πρωτίστων ἀγγέλων ταῦτα διεξιοῦσα, καὶ αὐτὸν κατέλιπον ἐκεῖ μετὰ τοῦ ἄρχοντος βασιλείας Περσῶν »[l]. 5. Μιχαήλ, τὸ πυριφλεγὲς πνεῦμα, τὸ ἀτελεύτητον χάριτι καὶ θεοεικελὸν[15] ζῷον, πρέσβυς δυνατώτατος, λειτουργὸς τῆς ἄνω δόξης ἀΐδιος· Μιχαήλ, ὁ τῇ μεθέξει τῆς θεαρχικῆς ἡλιοβολίας πρὸς τὸ θεομίμητον ὡς θεμιτὸν[16] ἀποτυπούμενος καὶ θέσει διαμένων ἀθάνατος· Μιχαήλ, τῶν ἀγγέλων ὁ πρόκριτος, ὁ πάσης ὑλικῆς ἐμφάσεως ἀπηλλαγμένος, ὁ *πανολβίαις* τῆς *προτελείου καὶ αὐτοτελοῦς*[m] τελεταρχίας *χύσεσιν*[n] ἐντρεφόμενος καὶ θείας ἀρετῆς ἀρχαγγελικῶς ἐφιέμενος· Μιχαὴλ ὁ μέγας ἄρχων, ὁ λεπτῇ φύσεως κατασκευῇ τὰ τῆς γῆς[17] ἑτοίμως περινοστῶν πέρατα καὶ εὐσεβῶς *οἷς βούλεται θεὸς ἐν μετασχηματισμῷ ὀπτανόμενος*[o].

VII. A ff. 163–164v; B ff. 327–327v

[8] sic AB [9] ἀμεταπείστου τὸ ἀπαράγραπτον : ἀμεταπτώτου τὸ ἀπερίγραπτον B [10] εἰς αἰῶνας : om. B [11] χάριτος B [12] θεοειδὴς B [13] ἀναδείκνυται A [14] προσβάλλεται A [15] nos : θεοεικελὲς A θεομελὲς B [16] ὡς θεμιτὸν : om. B [17] om. B.

VII. [d] Dan. 12. 1. [e] ibid. [f] cf. Hébr. 9. 15; Lc. 22. 20. [g] Hébr. 10. 20. [h] Is. 9. 5. [i] cf. Dion. Ar., *e. h.* 4. 3. 4, 10, *PG* 3, 477C, 484A. [j] cf. I Pierre 1. 18; Gal. 3. 13. [k] Dan. 10. 21. [l] Dan. 10. 13. [m] cf. Dion. Ar., *c. h.* 4. 1; 10. 3, *PG* 3, 177D; 273C. [n] cf. Dion. Ar., *c. h.* 13. 3, *PG* 3, 301C. [o] cf. Joh. Dam., *Expositio fidei* 17, ed. KOTTER II, p. 46, 35–36.

VIII. 1. Τοιγαροῦν, ὦ φίλοι πατέρες καὶ ἀδελφοὶ καὶ ἡ κατὰ Χριστὸν[1] νηπιάζουσα φύσις, οἱ[2] σήμερον πανευλαβῶς[3] ἐπὶ τῇ πανηγύρει τῶν μακαρίων συνδεδραμηκότες ἀρχιστρατήγων, ἐν καθαραῖς ψυχῶν ἕξεσι καὶ σωμάτων στεγαναῖς[4] διαθέσεσι θεῷ μελῳδήσωμεν καὶ τοὺς οὐρανίους θιασώτας ἁγνοπρεπῶς ἐπαινέσωμεν καὶ λόγοις εὐφροσύνης καὶ πνευματικῆς ἀγαλλιάσεως τούτων ἕκαστον ἀσπασώμεθα· χαίροις, Μιχαήλ, ἀρχιστράτηγε τῆς ἄνω παγκρατορίας, χαίροις, διειδέστατον τῆς τρισηλίου ἁγίας θεότητος ἔσοπτρον· χαίροις, Μιχαήλ[5], ὁ ταῖς θεαρχικαῖς ἀκτῖσιν πρὸς θεωτικὴν ἀποτυπούμενος εἰκόνα, χαίροις, ἄγαλμα θεῖον φωτολαμπὲς κυρίου. 2. Χαίροις, Μιχαήλ, ὁ τὴν Μωσέως ψυχὴν ἅτε δὴ θεοῦ θεράποντος ἐρίτιμον οὖσαν παραλαβὼν καὶ τὸν μισόκαλον διάβολον συνάραι λόγον περὶ τοῦ σώματος αὐτοῦ[6] ἐπιχειρήσαντα καταργήσας[a]· χαίροις, Μιχαήλ, ὁ τὸν προφήτην Ἀμβακοὺμ ἀερίῳ δρόμῳ ἀπὸ τῶν Ἱεροσολύμων εἰς Βαβυλῶνα μεταβιβάσας καὶ τῷ θεσπεσίῳ Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων συνάψας[b]· χαίροις, Μιχαήλ, ὁ τὸν οἰωνιστὴν[7] Βαλαὰμ κατὰ τὸ ἄμφοδον ἐμποδοστατήσας καὶ τοῦτον τῆς ἀτόπου μαντοσύνης[8] δι' ἐλεγμοῦ ξένου καὶ παραδόξου ἀπαγαγών[c]· χαίροις, Μιχαήλ, ἀρχιστράτηγε κυρίου, ὁ τὰς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας[9] Σεναχηρεὶν[10] βασιλέως Ἀσσυρίων ἐν μιᾷ ῥοπῇ νυκτὸς θανάτῳ καθυποβαλὼν καὶ τῆς τούτου τυραννίδος Ἐζεκίαν τὸν εὐσεβῆ ἄνακτα[11] λυτρωσάμενος[d]· χαίροις, τοῦ πάλαι Ἰσραὴλ ὁ τρισμέγιστος δημαγωγός[12]. 3. Χαίροις, Μιχαήλ, ὁ τῷ[13] τοῦ Ναυῆ Ἰησοῦ ἐν Ἰεριχῷ ἐμφανισθεὶς καὶ τὰ θεῖα σύμβολα τῆς ἁγίας ἐνδόξου ὑπερυμνήτου καὶ θεοτόκου Μαρίας αἰνιγματωδῶς ἀποσημήνας. Τί γάρ φησιν ἡ θεολογία ; « Καὶ ἐγένετο ὡς ἦν Ἰησοῦς ἐν Ἰεριχῷ, καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδεν φανέντα ἄνθρωπον ἑστηκότα ἐναντίον αὐτοῦ καὶ ἡ ῥομφαία αὐτοῦ ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ, καὶ προσελθὼν Ἰησοῦς εἶπεν αὐτῷ· "Ἡμέτερος εἶ ἢ τῶν ὑπεναντίων ;"· ὁ δὲ εἶπεν αὐτῷ· " Ἐγὼ ἀρχιστράτηγος δυνάμεως κυρίου νυνὶ παραγέγονα "· καὶ πεσὼν Ἰησοῦς ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν προσεκύνησεν καὶ εἶπεν αὐτῷ· "Δέσποτα, τί προστάσσεις τῷ σῷ οἰκέτῃ ;"· καὶ λέγει ὁ ἀρχιστράτηγος κυρίου πρὸς Ἰησοῦν· " Λῦσον τὸ ὑπόδημά σου ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ[14] σὺ ἕστηκας ἐπ'αὐτοῦ ἅγιος ἐστίν" »[e].

VIII. A ff. 164v–165v; B ff. 327v–328

[1] ἐν Χριστῷ B [2] om. B [3] εὐσεβῶς A [4] στεγναῖς B [5] χαίροις, Μιχαήλ : om. B [6] σώματος αὐτοῦ : προφητικοῦ σώματος B [7] οἰωνίτην B [8] μαντεοσύνης B [9] ὀγδοήκοντα πέντε χιλιάδας : χιλιάδας καὶ ἄλλας ὀγδοήκοντα B [10] Σεναχηρὴμ B [11] om. B [12] χαίροις — δημαγωγός : post καταργήσας l. 11 transp. B [13] τῷ : τὸν B [14] ἐν ᾧ B : ὃν A

VIII. [a] cf. Jude 9. [b] cf. Dan. 14. 33–39. [c] cf. Nombr. 22. 22–35. [d] cf. IV Rois 19. 35–36. [e] Jos. 5. 13–15

IX. 1. Ὢ καινῶν καὶ παραδόξων μυστηρίων· τόπος ἅγιος, ἐν ᾧ Ἰησοῦς εἱστήκει, πρὸς τοῦ στρατηγοῦ τῶν ἀγγέλων πόρρωθεν[1] ὑποφητικῶς καταγγέλλεται, ἵν' ὅταν ἡμεῖς τοῦ μυστηρίου τὴν ἔκβασιν πραγματωδῶς θεασώμεθα, ἀδιστάκτῳ καρδίας πίστει τὰ μυστικῶς εἰκονισθέντα ὑποδεξώμεθα πράγματα· τόπος γὰρ ἅγιος ἐπ' ἐσχάτων γενεῶν ἡ ἁγία πανύμνητος καὶ ὑπερένδοξος θεοτόκος Ἰησοῦ τοῦ σωτῆρος γεγένηται, ὅλον ἐν ἑαυτῇ τοῦτον ἀστενοχωρήτως χωρήσασα καὶ μητροπρεπῶς διαιτήσασα, ἀφράστως, ἀκαταλήπτως τὴν ἡμῶν ἐξ αὐτῆς ἀπαρχὴν[2] προσλαβόμενον, μὴ φύραντα ἑκατέρας οὐσίας τὰ ἴδια διὰ τὴν καθ' ὑπόστασιν τῶν ἐς ταὐτὸ συνδεδραμηκυιῶν φύσεων ἕνωσιν, καθότι ἐν τῇ οἰκίᾳ τῆς θεότητος ὁ τοῦ Πατρὸς ἰσόχειρ Λόγος διαμένων περιωπῇ τὴν βροτῶν δι' οἶκτον ἀμεταβόλως ἠμπέσχετο σάρκα, φυλάξας ἑκατέρας οὐσίας σῴαν τὴν φυσικὴν ἰδιότητα. 2. Οὔτε γὰρ ἡ θεότης τοῦ Λόγου μείωσιν τῆς ἰδίας ὑπέστη ἀϊδιότητος, οὔτε μὴν ἡ ἀνθρωπία[3] ἢ πρὸς τὴν θείαν μετεποιήθη οὐσίαν ἢ πρὸς ἀνυπαρξίαν διὰ τὴν πρὸς τὸν θεὸν λόγον συμφυΐαν[4] ἐχώρησεν, ἀλλὰ μεταλαμβάνει τοῦ κρείττονος, μὴ μεταδιδοῦσα τῇ ἀκτίστῳ καὶ θεαρχικῇ τῆς οἰκείας ἀσθενείας καὶ ταπεινότητος[5]· οὐ γὰρ κατὰ μεταβολὴν φύσεως θεοῦται τὸ ἐξ ἡμῶν, ἵνα μὴ σύγχυσις τοῖς ἰδιώμασιν τῶν συνελθουσῶν παρακολουθήσῃ φύσεων, ἀλλ' ἀντιδόσει[6] τοῦ κρείττονος θεοῦται τὸ καθ' ἡμᾶς, τῆς οἰκείας[7] διὰ τὴν πρὸς τὸν Λόγον περιχώρησιν μὴ ἐξιστάμενον ἰδιότητος, ἵνα τὰς δύο οὐσίας καὶ τοσαύτας θελήσεις τε καὶ ἐνεργείας ἐν τῇ μιᾷ συνθέτῳ ὑποστάσει ὁ τοῦ θεοῦ καὶ πατρὸς ταὐτοθελὴς διαδεικνὺς Λόγος, θεὸς καὶ ἄνθρωπος ὁ *θεαρχικὸς Ἰησοῦς*[a] παρὰ πάσης προσκυνηθῇ τῆς κτίσεως. 3. Διὰ ταῦτα τοίνυν ἡ μακαρία παρθένος τόπος θεοῦ τῷ τοῦ Ναυῆ Ἰησοῦ συμβολικῶς πρὸς τοῦ ταξιάρχου Μιχαὴλ προχαράττεται, ἡ ὑπὸ τοῦ βασταζομένου συνεχομένη καὶ τόπος χωρητικὸς τούτου χρηματίσασα, οὗ τόπος σωματικὸς[8] κατὰ τὴν ἀχώρητον τῆς αὐτοῦ θεότητος φύσιν ἐστὶν οὐδείς· αὐτὸς γὰρ ἑαυτοῦ τόπος καθέστηκεν, ὡς ὑπὲρ τὰ πάντα ὢν ἐξῃρημένος καὶ πάντα περιέχων[9] καὶ *διὰ*[10] *πάντων ἀσχέτως διήκων καὶ τὰς προνοητικὰς ἀγαθοπρεπῶς ἐπὶ* τὰ προνοούμενα διϊεὶς *ἐνεργείας*[b], δι'αὐτοῦ δὲ οὐδέν[11]. 4. Καὶ ὥσπερ ὁ παλαιὸς Ἰσραὴλ διὰ τοῦ θεράποντος Ἰησοῦ *εἰς τὴν γῆν τῆς ἐπαγγελίας*[c] εἰσῆλθεν (οὐ γὰρ διὰ Μωσέως ἤτοι τοῦ γραπτοῦ νόμου, καθότι τύπον ἔφερεν καὶ εἰκόνα[12] Ἰησοῦ τοῦ σωτῆρος ἡμῶν), οὕτως ὁ νέος Ἰσραὴλ καὶ

IX. A ff. 165v–166v; B ff. 328–329
[1] πόρρω B [2] φύσιν in marg. gloss. B [3] ἀνθρωπεία AB cf. LAMPE *sub* ἀνθρωπία [4] συνάφειαν B [5] τῇ – ταπεινότητος : τῆς οἰκείας ἀσθενείας τὴν ἄκτιστον B [6] ἀλλ' ἀντιδόσει: ἀλλὰ τῇ μεταδόσει B [7] οὐσίας B [8] τούτου – σωματικὸς : om. B [9] περιέπων B [10] om. B [11] δι'αὐτοῦ δὲ οὐδέν : om. B [12] καὶ εἰκόνα : σημιοῦ(ται) B

IX. [a] cf. Dion. Ar., *e. h.* 4. 3. 4, *PG* 3, 477C = 4. 3. 10, 484A. [b] cf. Dion. Ar., *c. h.* 13. 3, *PG* 3, 301A. [c] Hébr. 11. 9.

«*νοῦς ὁρῶν θεὸν*[d]» διὰ Ἰησοῦ τοῦ Ναζωραίου εἰς *τὴν ἄνω Ἱερουσαλὴμ*[e] καὶ πρώτην καὶ προσεχῆ πατρίδα ἡμῶν ἀποκαθίσταται διὰ τῆς αὐτοῦ[13] ἀφράστου πρὸς ἡμᾶς συγκαταβάσεως· ὅθεν εἰκότως ὁ μὲν τόπος ἐκεῖνος, ἐν ᾧ Ἰησοῦς ὁ Ναυίδης[14] εἱστήκει, εἰκὼν ἦν καὶ δήλωσις τῆς παναγίας ἀειπαρθένου Μαρίας, ὁ δὲ τοῦ Ναυῆ Ἰησοῦς, τοῦ ἐκ Δαυὶδ ἡμῖν ἀναβλαστήσαντος καὶ τὸν κόσμον τῇ αὐτοῦ θεουργίᾳ πρὸς τὴν ἀληθινὴν μητρόπολιν καὶ ὄντως *γῆν ἐπιθυμητὴν*[f] ἀποκαταστήσαντος.

X. 1. Τί δαὶ[1] καὶ πρὸς τὸν θειότατον λειτουργὸν Γαβριὴλ ἀποφθέγξομαι, ἐπειδή γε καὶ οὗτος τῇ τοῦ πρωτοστάτου Μιχαὴλ συμπαρείληπται ἑορτῇ, ὡς ἅτε τῆς νέας χάριτος ὑπάρξας διάκονος καὶ ταξιάρχης μέγας τῶν ἀγγέλων πεφυκώς; Ἄμφω γὰρ οὗτοι σχεδὸν τῆς μακαρίας τριάδος οἱ ἀρχάγγελοι τῶν ἄλλων ὑπερουρανίων ἀγγέλων ἐκφαντορικῷ τῆς οἰκείας ἀξίας ὀνόματι ἐτιμήθησαν. 2. Μιχαὴλ μὲν γάρ, ὡς ἤδη φθάσαντες εἴπαμεν, *στρατηγὸς ἀπὸ θεοῦ*[a] ἑρμηνεύεται, Γαβριὴλ δὲ *ἄνθρωπος θεοῦ*[b], ἐπειδή γε[2] οὗτος *τοῦ ἀποκεκρυμμένου μυστηρίου καὶ πρὸ τῶν αἰώνων θεῷ προωρισμένου*[c] τε καὶ διατεταγμένου τὴν σαφήνειαν ὡς[3] ἡμᾶς, οἷά τις ἄνθρωπος θεοῦ οἰκειότατος τῷ ὄντι, διηκονήσατο. 3. Ἐπεὶ οὖν χαρᾶς κοινῆς ἐχρημάτισεν ἐξαγγελεύς[4], γηθοσύνοις καὶ αὐτὸν ἀσπασώμεθα προσφωνήμασιν· Χαίροις, Γαβριήλ, ὁ τῇ παρθένῳ καὶ θεοτόκῳ Μαρίᾳ τὸ «*Χαῖρε, κεχαριτωμένη*[d]» προσφθεγξάμενος, δι'ἧς ἡ λύπη τῆς Εὔας ἐκποδὼν γέγονεν· χαίροις, Γαβριήλ, ὁ γενικωτάτης χαρᾶς εὐαγγέλια τῇ ἀνθρωπότητι διὰ τῆς παρθένου προμνηστευσάμενος, δι'ὧν ἐκαινουργήθη τῆς χοϊκῆς οὐσίας τὸ σκεῦος ὃ συνέτριψεν ὁ τῆς παρακοῆς προκαταρκτικὸς καὶ τοῦ γένους τῶν ἀνθρώπων πολέμιος Βελίαρ· (4.) χαίροις, Γαβριήλ, ὁ *τοῦ ἐν γεννητοῖς γυναικῶν* Ἰωάννου τοῦ Βαπτιστοῦ[5], *οὗ μείζων* ἐν προφήταις θεοῦ *οὐδεὶς*[6] *ἐγήγερται*[e], καθὼς ἡ κυριακὴ φωνὴ ἀπεφήνατο, τὴν ἱερὰν καὶ παρ'ἐλπίδα ἀνθρωπίνης ἀκολουθίας γεγενημένην σύλληψιν, πλήρης ὢν τῆς ὑποφητικῆς τῶν ἀγγέλων ἰδιότητος, ἐν τῷ ναῷ τῷ ἱερεῖ Ζαχαρίᾳ ὑπαγορεύσας καὶ τῇ σιωπῇ τὴν αὐτοῦ γλῶτταν διὰ τὴν ἀπιστίαν πεδήσας, ἣν τεχθεῖσα ἡ τοῦ θείου λόγου ἐκ γηραλέας στείρας[7] φωνὴ αὖθις ἔλυσεν καὶ προφητείας τῆς ὄντως ἐσομένης ἠξίωσεν[f]· (5.) χαίροις, Γαβριήλ, ὁ τῷ μυστικωτάτῳ τῶν προφητῶν Δανιὴλ ἐμφανισθεὶς καὶ τῶν γενησομένων τὰς ἐκβάσεις κατὰ θεοῦ πρόσταξιν συμβολικῶς ἐξηγορήσας[g]· χαίροις, ἀρχιστράτηγε θεοῦ, ὁ τῷ αὐτῷ προφήτῃ ἀποσταλεὶς καὶ τῇ προτροπῇ

IX. A ff. 165v–166v; B ff. 328–329
[13] om. B [14] Ναυίδης : τοῦ Ναυίδ B
X. A ff. 166v–167v; B ff. 329–329v
[1] δὲ A [2] om. A [3] εἰς B [4] ἐξάγγελος A [5] τοῦ Βαπτιστοῦ Ἰωάννου B [6] οὐκ B [7] στεῖρα B

IX. [d] cf. F. WUTZ, *Onomastica sacra* (*TU* 41–42), p. 88. [e] cf. Gal. 4. 26. [f] Ps. 105. 24.
X. [a] cf. F. WUTZ, *Onomastica sacra* (*TU* 41–42), p. 184. [b] ib. p. 184. [c] cf. I Cor. 2. 7 ; Col. 1. 26. [d] Lc 1. 28. [e] Matth. 11. 11. [f] cf. Lc 1. 11–20, 57–67. [g] cf. Dan. 8. 15–16.

τῶν ῥημάτων πρὸς ἀρετὴν καὶ προφητείας ἕξιν[8] ἐπιρρώσας, ὥς φησιν αὐτὸς ὁ συνετισθεὶς θεολόγος· « Καὶ ἰδοὺ Γαβριήλ, ὃν εἶδον ἐν τῇ ὁράσει μου[9] ἐν τῇ ἀρχῇ, πετόμενος καὶ ἥψατό μου ὡσεὶ ὥραν θυσίας ἑσπερινῆς καὶ συνέτισέν με καὶ ἐλάλησεν μετ' ἐμοῦ καὶ εἶπεν· " Δανιήλ, νῦν ἐξῆλθον συμβιβάσαι σοι σύνεσιν· ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν ὁ λόγος καὶ ἐγὼ ἦλθον τοῦ ἀγγεῖλαί σοι[10], ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ[11], καὶ ἐννοήθητι ἐν τῷ ῥήματι καὶ σύνες ἐν[12] τῇ ὀπτασίᾳ."»[h].

